ΤΗ Ζ΄ ΤΟΥ̓ ΜΗΝΟΣ ΣΕΠΤΕΜΒΡΙΟΥ̓

Προεόρτια τῆς Γεννήσεως τῆς Ὑπεραγίας Θεοτόκου. Σῴζοντος μάρτυρος (†304). Δανιὴλ ὁσίου τοῦ Κατουνακιώτου (†1929).

Ἐὰν ἡ προεόρτιος αὕτη ἡμέρα δὲν τύχῃ ἐν Κυριακῇ, ἡ Ἀκολουθία ψάλλεται, ὡς κεῖται ἐφεξῆς.

* * * * *

ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὸν Ἑξάψαλμον,

Συναπτὴ μεγάλη, μεθ᾽ ἣν ἐκφώνησις·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἦχος Δι



Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.



Ἀπολυτίκιον.

Μόνον τὸ προεόρτιον ἀπολυτίκιον ἐκ δευτέρου.

Κατεπλάγη Ἰωσήφ. Ἦχος Δι





Δόξα. Καὶ νῦν. Τὸ αὐτό.

μὲ τέλος :



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὸν τὸ κράτος...

* * *

ΚΑΘΙΣΜΑΤΑ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Τοῦ λίθου σφραγισθέντος. Ἦχος ⸗ Πα





Δόξα. Καὶ νῦν. Τὸ αὐτό.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Τὸν συνάναρχον Λόγον. Ἦχος πλ. δ΄ Κε φ



Δόξα. Καὶ νῦν. Τὸ αὐτό.

Εἶτα τὸν ν΄ ψαλμόν, χύμα.

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν

μού ἐστι διὰ παντός.
Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.
Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

* * *

Οἱ Κανόνες·

Ὁ Προεόρτιος τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου.

Τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς·

Γέννησιν ὑμνῶ τῆς θεόπαιδος Κόρης. Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ εἱρμός.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς

πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Γηθόμενοι σήμερον, μετ᾽ εὐφροσύνης ὑμνήσωμεν, τὸ θεῖον γενέθλιον τῆς Θεομήτορος· καὶ γὰρ τέτοκε, χαρὰν τῇ οἰκουμένῃ, λύπην τῆς Προμήτορος ἐξαφανίσασα.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἐκ στείρας προέρχεται, τῆς ἁμαρτίας ἡ στείρωσις, ἣν νόμος προέγραψε, καὶ τὰ κηρύγματα προεδήλωσαν, τῶν θείων θεηγόρων, ἡ πάναγνος Δέσποινα, καὶ παναμώμητος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ναὸς καὶ παλάτιον, τοῦ Βασιλέως γεγένησαι, ἐν ᾧ τὴν κατοίκησιν αὐτοῦ ποιούμενος, οἰκητήριον, τῆς Ἁγίας Τριάδος, πιστοὺς ἀπεργάσεται ὁ ὑπερούσιος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νυμφὼν ὡραιότατος, θρόνος Θεοῦ ὑψηλότατος, ἐδείχθης Θεόνυμφε, ἐν ᾧ καθήσας σαρκί, τοὺς καθημένους, ἐν σκότει ἀπωλείας, ἐγερεῖ πρὸς γνώσεως, φῶς ἀγαθότητι.

Κανὼν τοῦ Ἁγίου. Ποίημα Θεοφάνους.
Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Σωθῆναι τοὺς τὴν σεπτήν σου σήμερον, μνήμην γεραίροντας, ἀπὸ παντοίων Σῴζων πειρασμῶν, καὶ κινδύνων καὶ θλίψεων, τὸν εὐεργέτην Κύριον, νῦν καθικέτευε πανένδοξε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀστέρα πυρσοφαῆ ἀνέδειξε, Χριστὸς ἐν ὕψει σε, τῆς Ἐκκλησίας Μάρτυς ἀληθῶς, ταῖς τῶν ἄθλων σου λάμψεσι, τὴν οἰκουμένην ἅπασαν, καταλαμπρύνοντα πανεύφημε.

Δόξα.

Τοξεύσας ὑπομονῆς τοῖς βέλεσι, τοὺς τοῦ Κυρίου ἐχθρούς, καὶ τῆς ἀνδρείας ξίφει τὰ αὐτῶν, διακόψας στρατεύματα, νικητικὸν διάδημα, Σῴζων ἀπείληφας μακάριε.

Καὶ νῦν. Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι᾽ ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Τῆς Θεοτόκου

Ὠδὴ γ΄. Ἦχος δ΄. Ὁ εἱρμός.

Ὅτι στεῖρα ἔτεκεν, ἡ ἐξ Ἐθνῶν Ἐκκλησία, καὶ ἡ πολλὴ ἐν τέκνοις, ἠσθένησε Συναγωγή· τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοήσωμεν· Ἅγιος εἶ Κύριε. (δίς)

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἡ γῆ ἡ κατάκαρπος, ἐκ γῆς ἀκάρπου γεννᾶται, ἥτις καρπογονήσει, τὸν γεωργὸν τῶν ἀγαθῶν, καὶ ζωηφόρον ἄσταχυν, τὸν τρέφοντα πάντας θείῳ νεύματι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Σήμερον ἐβλάστησε, τῆς παρθενίας ἡ ῥάβδος, ἐξ ἧς ἀνθήσει ἄνθος, ὁ φυτουργὸς ἡμῶν Θεός, τὰ πονηρὰ βλαστήματα, ἀποτέμνων ἄκρᾳ ἀγαθότητι.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Ἴδε τὸ ἀλάξευτον, ὄρος ἐκ πέτρας ἀγόνου, ἀποτεχθὲν τὸν λίθον, καρπογονεῖ τὸν νοητόν, ὃς συντριβὴν ἐργάσεται, τῶν ξοάνων πάντων τοῦ ἀλάστορος.

Στίχ. Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Νόμου προχαράγματα, σὲ προεδήλωσαν Κόρη· τὸν νομοδότην σὺ γάρ, νομίμων δίχα ἐν γαστρί, κυοφορεῖς τηροῦντά σε, ὑπὲρ λόγον ἄφθορον ἀμίαντον.

Τοῦ Ἁγίου

Ἦχος δ΄. Εὐφραίνεται ἐπὶ σοί.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Αἱμάτων σου αἱ ῥοαί, ποταμηδὸν διὰ Χριστὸν ῥεύσασαι, πῦρ ἀσεβῶν ἔσβεσαν, Μάρτυς ἀθλοφόρε ἀοίδιμε.

Στίχ. Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑπέστης καρτερικῶς, τῶν αἰκισμῶν τὰς προσβολάς, ἄῤῥηκτος πύργος καθάπερ ἔνδοξε, πλάνης καθελὼν τὸ ὀχύρωμα.

Δόξα.

Καθεῖλες δαυϊτικῶς, ὡς Γολιὰθ τὸν νοητὸν τύραννον, καὶ τὸ αὐτοῦ στράτευμα, πίστεως σφενδόνῃ Πανένδοξε.

Καὶ νῦν. Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας· ὅθεν σοι τὸ Χαῖρε κραυγάζομεν.

Ὁ Εἱρμός.

Ἦχος Βου ξ



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...

* * *

ΜΕΣΩΔΙΑ ΚΑΘΙΣΜΑΤΑ

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οἱ τῶν θαυμάτων ποταμοὶ Θεοτόκε, ἐκ τῆς πανσέπτου σου σοροῦ προερχόμενοι, ὡς ἐξ Ἐδὲμ ποτίζουσι τὸ πρόσωπον τῆς γῆς, χάριτας προχέοντες, τοῖς πιστῶς σε τιμῶσιν· ὅθεν ἀνυμνοῦμέν σε, καὶ σεπτῶς εὐφημοῦμεν, καὶ εὐχαρίστως κράζομεν ἀεί· Χαῖρε ἡ μόνη, ἐλπὶς τῶν ὑμνούντων σε.

Δόξα. Καὶ νῦν. Τὸ αὐτό.

Ὁ Εἱρμός τῆς ς΄ Ὠδῆς.

Ἦχος Βου ξ



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Σὺ γὰρ εἶ ὁ Βασιλεύς...

* * *

ΚΟΝΤΑΚΙΟΝ, ΟΙΚΟΣ, ΣΥΝΑΞΑΡΙΟΝ

Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Περιβολὴν πᾶσι πιστοῖς ἀφθαρσίας, θεοχαρίτωτε Ἁγνὴ ἐδωρήσω, τὴν ἱερὰν Ἐσθῆτά σου, μεθ᾽ ἧς τὸ ἱερόν, σῶμά σου ἐσκέπασας, σκέπη θεία ἀνθρώπων· ἧς περ τὴν κατάθεσιν, ἑορτάζομεν πόθῳ, καὶ ἐκβοῶντες κράζομεν πιστῶς· * Χαῖρε Παρθένε, χριστιανῶν τὸ καύχημα.

Ὁ Οἶκος.

Τὴν καθαρὰν καὶ ἀληθῆ σκηνὴν τοῦ Θεοῦ Λόγου, τὴν ἔμψυχον νεφέλην, καὶ στάμνον τὴν τοῦ Μάννα, τὴν Θεοτόκον Μαριάμ, πάντες οἱ σωθέντες διὰ τοῦ τόκου αὐτῆς ἐν πίστει μακαρίσωμεν· καὶ τὴν σεπτὴν Ἐσθῆτα προσπτυξώμεθα, ᾗπερ τὸν Δεσπότην περισχοῦσα, ὡς βρέφος ἐβάστασε, φορέσαντα σάρκα, δι᾽ ἧς περ τῶν βροτῶν ἡ φύσις ἐπήρθη πρὸς μετάρσιον ζωὴν καὶ βασιλείαν· ὅθεν γεγηθότες, κραυγάζομεν μεγαλοφώνως· * Χαῖρε Παρθένε, χριστιανῶν τὸ καύχημα.

Συναξάριον.

Τῇ Ζ΄ τοῦ αὐτοῦ μηνός, τὰ προεόρτια τοῦ Γενεθλίου τῆς ὑπεραγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Στίχ. Σκίρτα ἡ κτίσις προεορτίως σφόδρα!
Αὔριον γὰρ τίκτεται ἡ Θεοτόκος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Σῴζοντος.

Στίχ. Ἀντεῖχε Σῴζων σώματος πρὸς αἰκίας,
Πρὸς τὸν μόνον σῴζοντα τὴν ψυχὴν βλέπων.
Ἑβδομάτῃ Σῴζων θάνε, τυπτόμενος χρόα λαμπρόν.

Οὗτος ἐκ Λυκαόνων ὁρμώμενος καὶ ποιμὴν προβάτων γεγονώς, ἐπεὶ τοῦ ἁγίου Βαπτίσματος ἠξιώθη, εἰσελθὼν ἐν τῷ ναῷ, ἐν ᾧ ἵστατο ἄγαλμα, ἐκ χρυσοῦ καὶ ἀργύρου κατεσκευασμένον, τούτου τὴν δεξιὰν χεῖρα διακλάσας καὶ πωλήσας, τὸ τίμημα παρέσχε τοῖς πένησιν. Ὅθεν τοῦ ἡγεμόνος τοῦ τόπου πολλοὺς ἐξ ὑπονοίας τιμωροῦντος, ὁ Ἅγιος ἑαυτὸν κατεμήνυσε, καὶ αὐτίκα τύπτεται σφοδρῶς· καὶ ὑποδήμασι σιδηροῖς ὑποδεθείς, ἠναγκάζετο τρέχειν. Καὶ αὖθις ἐπὶ τοσοῦτον βάκλοις τύπτεται, ὥστε τὰ ὀστᾶ τοῦ σώματος αὐτοῦ καταθραυσθῆναι, καὶ τὸ πνεῦμα εἰς χεῖρας Θεοῦ παραδοῦναι.

Μεγάλη δὲ πανήγυρις αὐτοῦ τελεῖται εἰς Φισίνιον Λήμνου ὅπου ναὸς τοῦ Ἁγίου, ὅστις καὶ ἀνεκηρύχθη προσφάτως προστάτης καὶ πολιοῦχος νήσου, ὁμοῦ μετὰ τοῦ ἁγίου Στρατηγίου ἐπισκόπου Ἡφαιστείας καὶ τῆς ἁγίας μάρτυρος Μελιτινῆς.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ἁγίων ἀποστόλων ἐκ τῶν Ο΄ Εὐόδου καὶ Ὀνησιφόρου. (α΄ αἰ.)

Στίχοι. Εἰς τὸν Εὔοδον.
Ὁδὸν τρέχων Εὔοδος εὐθεῖαν λόγου,
Καὶ πάντας αὐτὴν ἐκδιδάσκων ἣν τρέχειν.
Εἰς τὸν Ὀνησιφόρον.
Φέρειν ὄνησιν πᾶσιν Ὀνησιφόρος,

Φερωνύμως ἔσπευδε κηρύττων Λόγον.

Ὁ ἅγιος Ἀπόστολος Εὔοδος, γενόμενος ἐν Ἀντιοχείᾳ τῇ μεγάλῃ μετὰ Πέτρον Ἐπίσκοπος, ἐν ταῖς Ἐπιστολαῖς τοῦ μακαρίου ἀναφέρεται Παύλου, μεγάλως ἐν τοῖς Ἑβδομήκοντα ἀριστεύσας καὶ κῆρυξ διαπρύσιος γεγονὼς τοῦ Λόγου. Τὸν δὲ Ὀνησιφόρον, ὃν ἐν τῇ πρὸς Τιμόθεον Ἐπιστολῇ ὁ Ἀπόστολος παρεισάγει, Καλοφωνίας Ἐπίσκοπον εὕρομεν γεγονότα, δεξιὸν ἐν τοῖς λόγοις καὶ ἀλκιμώτατον, μέχρις αἵματος αὐτοῦ τὴν πίστιν κρατύναντα. Οὗτος ἐν τῷ χορῷ τῶν κηρύκων σὺν τῷ Ἀποστόλῳ Εὐόδῳ αὐλίζεται ἐν ταῖς ἐπουρανίαις σκηναῖς.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου μάρτυρος Εὐψυχίου τοῦ ἐκ Καππαδοκίας, ξίφει τελειωθέντος. (†117)

Στίχ. Εὔψυχος Εὐψύχιος ἦν πρὸς τὸ ξίφος,
Χαίρων ὅτι πλάσαντι τὴν ψυχὴν θύει.

Οὗτος γέννημα καὶ θρέμμα ὑπῆρχε τῆς Καισαρέων πόλεως, τῶν Ῥωμαίων βασιλεύοντος Ἀδριανοῦ. Τοῦ δὲ πατρὸς αὐτοῦ τὸν βίον ἀπολιπόντος, αὐτὸς βαπτισθεὶς καὶ πάντα τὰ προσόντα τοῖς πτωχοῖς διανείμας, παρὰ τοῦ Καππαδοκάρχου συλλαμβάνεται καὶ ξέεται τὰς πλευρὰς καὶ φρουρεῖται. Ἀγγέλου δὲ ἐπιστασίᾳ ἀναῤῥωσθείς, αὖθις ἀναρτᾶται καὶ ξέεται σφοδρῶς, καὶ τελευταῖον τὴν κεφαλὴν ἀποτέμνεται. Λέγεται δὲ ἀντὶ αἵματος γάλα καὶ ὕδωρ ῥυῆναι.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς ὁσίας μητρὸς ἡμῶν Κασσιανῆς τῆς ὑμνογράφου, κτιτορίσσης μονῆς ἐν Ὑψωμαθείοις τῆς Κωνσταντινουπόλεως. (~†880)

Στίχ. Λιποῦσα τὴν γῆν οὐρανόφρων, Ἰκασία,
Εἰς Οὐρανοὺς ἀνῆλθεν, ὥσπερ ἠγάπα.

Κάτω ἀηδὼν χριστόφθογγος ὡράθης,
Ἄνω ἀνυμνεῖς, Κασσιανή, Δεσπότην.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Πέτρου τοῦ εὐλαβοῦς καὶ Λουκᾶ τοῦ τῆς Λυκαόνων ἐπαρχίας, δευτέρου καὶ τρίτου ἀντιστοίχως ἡγουμένου τῆς μονῆς τοῦ Σωτῆρος, τῆς ἐπιλεγομένης Βαθέος Ῥύακος, παρὰ τὴν Τριγλίαν τῆς Βιθυνίας.

Στίχ. Πέτρος εὐλαβῶς ῥύακα βίου τούτου,
Διαπεράσας ἐν Ἐδὲμ εὗρε στάσιν.

Πάσης ὑπῆρξας ἀρετῆς Λουκᾶ τύπος,
Πάσης ἀποστὰς προσπαθείας γηΐνης.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου, ἀρχιεπισκόπου Νόβγκοροντ ἐν Ῥωσίᾳ.

Στίχ. Ἔχεις ὡς μισθὸν ἐκ Θεοῦ, Ἰωάννη,
Τὸ θαυματουργεῖν ὡς Αὐτοῦ πιστὸς φίλος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ὁσιομάρτυρος Μακαρίου, ἀρχιμανδρίτου τῆς ἐν Οὐκρανίᾳ μονῆς τοῦ Κάνεφ, ὑπὲρ τῆς πίστεως πολυτρόπως ἀθλήσαντος καὶ ἀποκεφαλισθέντος ὑπὸ τῶν Τατάρων. (†1678)

Στίχ. Μακάριος εἶ, Μακάριε, τῷ ὄντι,
Ὅτι συνήφθης Χριστῷ τοῖς μαρτυρίοις.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις ὁσίου πατρὸς ἡμῶν Δανιὴλ τοῦ Κατουνακιώτου (†1929).

Στίχ. Χριστόν, Ὃν ὕμνησας ἐν Ἄθῳ ἀσκήσει
χείλεσι νῦν ὑμνεῖς, Δανιήλ, ἐν πόλῳ.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

* * *

Ὁ Εἱρμός τῆς η΄ Ὠδῆς.

Ἦχος Βου



* * *

Ὁ διάκονος· Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνομεν.

Η ΩΔΗ ΤΗΣ ΘΕΟΤΟΚΟΥ







2 Ο τι ε πε βλε ψεν ε πι την τα πει νω
σιν της δ̈ λης αυ τ̈ ι δ̈ γαρ α πο τ̈ νυν μα
κα ρι ϊ̈ σι με πα σαι αι γε νε αι

Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν

3 Ο τι ε ποι η σε μοι με γα λει α ο
δυ να τος και α γι ον το ο νο μα αυ τ̈ και
το ε λε ος αυ τ̈ εις γε νε αν και γε νε
αν τοις φο β̈ με νοις αυ τον

Την τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι


α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
4
Ε ποι η σε κρα τος εν βρα χι ο νι αυ τϑ
δι ε σκορ πι σεν υ πε ρη φα νϑς δι α νοι
α καρ δι ας αυ των
Τ
ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι
α φθο ο ρως Θε ον Λο γον τε κου σαν την ον τως Θε
ο το κον σε ε με γα λυ νο μεν
5
Κα θει λε δυ να στας α πο θρο νων και υ υ
ψω σε τα πει νϑ ϑς πει νων τας ε νε πλη σεν α γα
θω ων και πλϑ τϑ ϑν τας ε ξα πε στει λε κε νϑ
ϑς
Τ
ην τι μι ω τε ραν των Χε ρου βιμ και εν δο
ξο τε ραν α συγ κρι τως των Σε ρα φειμ την α δι α







Ὁ Εἱρμός τῆς θ΄ Ὠδῆς.

Ἦχος Βου





καὶ τὸ Ἄξιον ἐστίν:

Ἦχος Βου



Συναπτὴ μικρά, μεθ' ἣν ἐκφώνησις·

Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...

* * *

ΤΑ ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ

Ἐξαποστειλάριον τοῦ Μάρτυρος.

Γυναῖκες ἀκουτίσθητε. Ἦχος Δι





Τῆς Θεοτόκου.
Τοῖς Μαθηταῖς συνέλθωμεν.



[ΑΙΝΟΙ]

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης ἀναγινώσκει χῦμα τοὺς Αἴνους ὡς ἀκολούθως.

Ψαλμὸς ρμη΄ (148).

Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτόν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτόν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς.
Αἰνεῖτε αὐτόν, οἱ οὐρανοὶ τῶν οὐρανῶν καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι αὐτὸς εἶπε, καὶ ἐγενήθησαν, αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν.
Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται.
Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες καὶ πᾶσαι ἄβυσσοι.
Πῦρ, χάλαζα, χιών, κρύσταλλος, πνεῦμα καταιγίδος, τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ.
Τὰ ὄρη καὶ πάντες οἱ βουνοί, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι.
Τὰ θηρία καὶ πάντα τὰ κτήνη, ἑρπετὰ καὶ πετεινὰ πτερωτά.
Βασιλεῖς τῆς γῆς καὶ πάντες λαοί, ἄρχοντες καὶ πάντες κριταὶ γῆς.
Νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου.
Ἡ ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ, καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ.
Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ, τοῖς υἱοῖς Ἰσραήλ, λαῷ ἐγγίζοντι αὐτῷ.

Ψαλμὸς ρμθ΄ (149).

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων.
Εὐφρανθήτω Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτόν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν.
Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ.
Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ.
Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.
Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν,
Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς,
Τοῦ δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς.
Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ψαλμὸς ρν΄ (150).

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.
Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.
Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.
Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* * *

ΔΟΞΟΛΟΓΙΑ

Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης ἀναγινώσκει χῦμα τὴν μικρὰν δοξολογίαν ὡς ἀκολούθως.

Σοὶ δόξα πρέπει, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Δόξα ἐν ὑψίστοις Θεῷ * καὶ ἐπὶ γῆς εἰρήνη, * ἐν ἀνθρώποις εὐδοκία.
Ὑμνοῦμέν σε, * εὐλογοῦμέν σε, * προσκυνοῦμέν σε, * δοξολογοῦμέν σε, * εὐχαριστοῦμέν σοι * διὰ τὴν μεγάλην σου δόξαν.
Κύριε βασιλεῦ, * ἐπουράνιε Θεέ, * Πάτερ παντοκράτορ· * Κύριε Υἱὲ μονογενές, * Ἰησοῦ Χριστέ, * καὶ ἅγιον Πνεῦμα.
Κύριε ὁ Θεός, * ὁ ἀμνὸς τοῦ Θεοῦ, * ὁ Υἱὸς τοῦ Πατρός, * ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, * ἐλέησον ἡμᾶς, * ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.
Πρόσδεξαι τὴν δέησιν ἡμῶν, * ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, * καὶ ἐλέησον ἡμᾶς.
Ὅτι σὺ εἶ μόνος ἅγιος, * σὺ εἶ μόνος Κύριος, * Ἰησοῦς Χριστός, * εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.
Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε * καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα * καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
Κύριε, * καταφυγὴ ἐγενήθης ἡμῖν * ἐν γενεᾷ καὶ γενεᾷ. * Ἐγὼ εἶπα· * Κύριε, ἐλέησόν με· * ἴασαι τὴν ψυχήν μου, * ὅτι ἥμαρτόν σοι.
Κύριε, πρὸς σὲ κατέφυγον· * δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, * ὅτι σὺ εἶ ὁ Θεός μου.
Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· * ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.
Παράτεινον τὸ ἔλεός σου * τοῖς γινώσκουσί σε.
Καταξίωσον, Κύριε, * ἐν τῇ ἡμέρᾳ ταύτῃ * ἀναμαρτήτους

φυλαχθῆναι ἡμᾶς.
Εὐλογητὸς εἶ, Κύριε, * ὁ Θεὸς τῶν πατέρων ἡμῶν, * καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου * εἰς τοὺς αἰῶνας. Ἀμήν.
Γένοιτο, Κύριε, * τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, * καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.
Εὐλογητὸς εἶ, Κύριε· * δίδαξόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Δέσποτα· * συνέτισόν με τὰ δικαιώματά σου.
Εὐλογητὸς εἶ, Ἅγιε· * φώτισόν με τοῖς δικαιώμασί σου.
Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα· * τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς.
Σοὶ πρέπει αἶνος, * σοὶ πρέπει ὕμνος, * σοὶ δόξα πρέπει, * τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, * νῦν καὶ ἀεὶ * καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

* * *

ΤΑ ΠΛΗΡΩΤΙΚΑ

Εἶτα ὁ διάκονος λέγει τὰ Πληρωτικά, ὁ δὲ χορὸς ἀποκρίνεται εἰς μὲν τὰς δύο πρώτας δεήσεις διὰ τοῦ Κύριε, ἐλέησον, εἰς τὰς ἑπομένας ἓξ διὰ τοῦ Παράσχου, Κύριε, εἰς δὲ τὴν τελευταίαν διὰ τοῦ Σοί, Κύριε.
Πληρώσωμεν τὴν ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.
Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.
Τὴν ἡμέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι παρὰ τοῦ Κυρίου αἰτησώμεθα.
Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικὰ καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.
Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.
Ὁ ἱερεὺς ἐκφώνως·
Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν καὶ φιλανθρωπίας ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ

Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ ἱερεὺς εὐλογῶν τὸν λαόν· Εἰρήνη πᾶσι.
Ὁ χορός· Καὶ τῷ πνεύματί σου.
Ὁ διάκονος· Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.
Ὁ χορός· Σοί, Κύριε.
Ὁ ἱερεὺς τὴν εὐχὴν τῆς κεφαλοκλισίας καὶ τὴν ἐκφώνησιν·
Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σῴζειν ἡμᾶς, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.

* * *

Εἰς τὸν Στίχον τῶν Αἴνων, Στιχηρὰ προσόμοια.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε οἱ ἐξ Ἀδάμ, τὴν ἐκ Δαυῒδ φυεῖσαν, καὶ τὸν Χριστὸν τεκοῦσαν, ὑμνήσωμεν Παρθένον, Μαρίαν τὴν πανάχραντον.

Στίχ. Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου· καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.

Αἶνον τῷ Λυτρωτῇ, προσάξωμεν Κυρίῳ, τῷ ἐκ τῆς στείρας δόντι, ἡμῖν τὴν Θεοτόκον, καὶ μόνην ἀειπάρθενον.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Σήμερον ἡ χαρά, πάσης τῆς οἰκουμένης, στειρωτικῆς ἐκ μήτρας, γεννᾶται παραδόξως, ἡ Μήτηρ τοῦ Κυρίου μου.

Ἦχος Δι





Εἶτα ὁ προεστὼς ἢ ὁ ἱερεύς·

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωΐ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (Ψαλμ. ϟα΄ 2-3)

Ὁ ἀναγνώστης τὸ τρισάγιον.

Ἅγιος ὁ Θεός, ἅγιος ἰσχυρός, ἅγιος ἀθάνατος· ἐλέησον ἡμᾶς. (τρίς)

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς

τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ ἀναγνώστης· Ἀμήν.

Ἀπολυτίκιον.

Τὸ προεόρτιον ἀπολυτίκιον ἅπαξ.

Κατεπλάγη Ἰωσήφ. Ἦχος δ΄



* * *

Μετὰ τὰ Ἀπολυτίκια, ὁ ἱερεὺς τὴν Ἐκτενῆ καὶ τὴν Ἀπόλυσιν.

Ὁ διάκονος· Σοφία.
Ὁ ἀναγνώστης· Εὐλόγησον.
Ὁ ἱερεύς·
Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
Ὁ χορός· Ἀμήν.
Ὁ προεστὼς ἢ ὁ ἀναγνώστης·
Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν σὺν τῇ ἁγίᾳ ἐκκλησίᾳ (ἢ μονῇ) ταύτῃ εἰς αἰῶνας αἰώνων.
Ὁ ἱερεύς· Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.
Ὁ ἀναγνώστης· Τὴν τιμιωτέραν τῶν Χερουβὶμ * καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφίμ, * τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, * τὴν ὄντως Θεοτόκον, * σὲ μεγαλύνομεν.
Ὁ ἱερεὺς· Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.
Ὁ ἀναγνώστης· Δόξα. Καὶ νῦν. Κύριε, ἐλέησον γ΄. Πάτερ ἅγιε, εὐλόγησον.
Καὶ ὁ ἱερεὺς τὴν μεγάλην ἀπόλυσιν·
Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν ...
Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς.
Ὁ λαός· Ἀμήν.

* * * * *

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Ὁ διάκονος τὰ εἰρηνικὰ

Τὰ ἑξαπλᾶ.

Ἦχος πλ. Νη





Τὰ Ἁγιορείτικα (καταγραφὴ Μελετίου Συκιώτου).

Ἦχος Πλ. Δ Νη ζω



Ἀθανασίου Καραμάνη.

Ἦχος Πλ. Δ Νη ζω





καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι πρέπει σοι πᾶσα δόξα...

Ἀντίφωνον Α΄. Ἦχος β΄. Ψαλμὸς ρια΄ (91).

Ἦχος Δι

Στίχ. α΄. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. (ρια΄ 2)



Στίχ. β΄. Τοῦ ἀναγγέλλειν τῷ πρωὶ τὸ ἔλεός σου καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. (ρια΄ 3)



Στίχ. γ΄. Ὅτι εὐφρανάς με, Κύριε, ἐν τοῖς ποιήμασί σου, καὶ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου ἀγαλλιάσομαι. (ρια΄ 5)



Στίχ. δ΄. Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. (ρια΄ 16)



Δόξα. Καὶ νῦν.





Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι σὸν τὸ κράτος...

Ἀντίφωνον Β΄. Ἦχος πλ. α΄. Ψαλμὸς ϟβ΄ (92).

Στίχ. α΄. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. (ϟβ΄ 1)



Στίχ. β΄. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (ϟβ΄ 1)



Στίχ. γ΄. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. (ϟβ΄ 4)



Στίχ. δ΄. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα· τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. (ϟβ΄ 5)



Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.



Ὁ διάκονος τὴν μικρὰν συναπτὴν καὶ ὁ ἱερεὺς τὴν ἐκφώνησιν·

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος...

Ἀντίφωνον Γ΄. Ἦχος β΄. Ψαλμὸς ϟδ΄ (94).

Στίχ. α΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν. (ϟδ΄1)



Στίχ. β΄. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ. (Ϛδ΄2)



Στίχ. γ΄. Ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. (Ϛδ΄3)



Ψαλλομένου τοῦ δοξαστικοῦ τῶν μακαρισμῶν ἢ τοῦ γ΄ ἀντιφώνου γίνεται ἡ εἴσοδος μετὰ τοῦ Εὐαγγελίου.

* * *

ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ

Εἰσοδικόν. Ἦχος β΄.

(Ἐὰν εἰσοδεύουν πολλοὶ ἱερεῖς, ψάλλουν αὐτοὶ τὸ εἰσοδικόν).

Ἦχος Δι



ὁ β΄ χορός:



Ἀπολυτίκια.

Τὸ προεόρτιον.

Κατεπλάγη Ἰωσήφ. Ἦχος δ Δι



Εἶτα τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον Προεόρτιον.

Ἡ Παρθένος σήμερον. Ἦχος Γα





* * *

Τρισάγιον. Σύντομον.

Ἦχος Δι



* * *

ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ

Ἦχος Δι




α α γι ι ο ο ος ι ι ι σχυ ρο ο ο ος α
α γι ι ος α θα α να τος ε λε ε ε η σο ο
ον η μα ας
Τό τρίτον.
Α γι ος ο Θε ο ο ο ο ο ο ο
ο ο ο ο ος α γι ος ι σχυ ρο ο ο ος
α α γι ι ος α θα α να τος ε λε ε ε η
σο ο ον η μα ας
Δ ο ξα Πα τρι και Υι ω και α γι ω Πνε ευ μα
τι
Κ αι νυν και α ει και εις τους αι ω νας των αι ω
νων α μην
Α α γι ι ος α θα α να τος ε λε ε ε
η σο ο ον η μα ας
Δ υ να α α μις Α γι ος ο Θε ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ος α γι ος
ι σχυ ρο ο ο ος α α α α α α

Δύναμις τοῦ βήματος.

Ἦχος Δι









Ἕτερον ὑπό Γεωργίου Κρητός († 1816)

Ἦχος Δι





Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἡμέρας.

2026

ΤΗ ΔΕΥΤΕΡΑ ΤΗΣ ΙΕ΄ ΕΒΔΟΜΑΔΟΣ

Ὁ ἀναγνώστης· Ψαλμὸς τῷ Δαβίδ. Προκείμενον ἦχος δ΄.
Ὁ διάκονος· Πρόσχωμεν.

Ὁ ἀναγνώστης τὸ προκείμενον καὶ τὸν στίχον αὐτοῦ.

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.
Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον· Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ἢ ὁ ψάλτης.

Ἦχος δ΄ Βου ξ





Στίχ. β΄. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ ὁ περιπατῶν







Ὁ διάκονος· Σοφία.

Ὁ ἀναγνώστης·

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ὁ διάκονος· Πρόσχωμεν.

(Γαλ. β΄ 11-16)

Ἀδελφοί, ὅτε ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς. Καὶ συνυπεκρίθησαν αὐτῷ καὶ οἱ λοιποὶ Ἰουδαῖοι, ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει. Ἀλλ᾽ ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου, εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων· Εἰ σὺ Ἰουδαῖος ὑπάρχων ἐθνικῶς ζῇς καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις ἰουδαΐζειν; Ἡμεῖς φύσει Ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί, εἰδότες δὲ ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ καὶ οὐκ ἐξ ἔργων νόμου, διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ.

Ἀλληλούϊα (γ΄). Ἦχος β΄. (Ψαλμὸς ρμη΄).

Ἦχος Δι





Στίχ. α΄. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, αἰνεῖτε αὐτὸν





Στίχ. β΄. Αἰνεῖτε αὐτόν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν,





ΕΥΑΓΓΕΛΙΟΝ

ΤΗ ΔΕΥΤΕΡΑ ΤΗΣ ΙΕ΄ ΕΒΔΟΜΑΔΟΣ

Ἐκ τοῦ κατὰ Μᾶρκον (ε΄ 24-34).

Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολύς, καὶ συνέθλιβον αὐτόν. 25 Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, 26 καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, 27 ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν ἥψατο τοῦ ἱματίου αὐτοῦ· 28 ἔλεγεν γὰρ ἐν ἑαυτῇ ὅτι Ἐὰν ἅψωμαι κἂν τῶν ἱματίων αὐτοῦ, σωθήσομαι. 29 καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς,

καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. 30 καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων; 31 καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις· τίς μου ἥψατο; 32 καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. 33 ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. 34 ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Ἦχος ἰἰ Δι



Χερουβικόν, Ἰωάννου Ἀρβανίτη, ἦχος Δι



ο ο ει κο ο νι ι ι ι ι ι ζο ο ον
τε ε ε ε ε ε ε ε ες και αι αι αι
τη η η η ζω ο ο ο ποι οι οι οι οι οι οι
ζω ο ο ποι οι ω ω Τρι ι α α α α ηα α α
α α α α α α α α α α α α Τρι α α
α α δι ι το ον τρι ι σα α α α
γι ι ι ι ο ο ο ον υ υ υ μνο ο ο ο ον
προ σα α α δο ο ο υ μνον προ ο σα α α
δο ο ον τε ες πα α α α α α σα α α α
αν την βι ι ω τι ι κη η η η η η η ην α
πο ο θω ω ω ω ω ω με ε ε ε ε θα α με ε
ρι ι ι μνα α α α α α α α α α αν
Ω ς τον βα σι ι λε ε ε ε ε ε ε
ε ε ε ε ε ε ε βα α σι ι λε ε ε
ε ε ε ε α
Τ ω ων ο ο ο ο ο λω ω ω ω ων υ



Τὰ Λειτουργικά,
ὡς διασώθηκαν ἐν τῇ Μεγάλῃ τοῦ Χριστοῦ Ἐκκλησίᾳ,
κατὰ παράδοσιν ἀρχαιοτάτην. Καταγραφὴ Κ. Ψάχου.

Ἦχος



Τὸ Σύμβολον τῆς πίστεως.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τόν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα, οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα. Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ Κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, ἁγίαν, καθολικὴν καὶ ἀποστολικὴν Ἐκκλησίαν. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν.

Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν.

* * *





Γρηγορίου Πρωτοψάλτου. Ἦχος Δι



Κοινωνικὸν, τὸ τῆς ἡμέρας.

2026

ΚΟΙΝΩΝΙΚΑ ΤΗΣ ΕΒΔΟΜΑΔΟΣ

Τῇ Δευτέρᾳ Πέτρου Λαμπαδαρίου.

Ἦχος ⸗ Πα




ϱου ου ου ου ου ους α α α α α λει του
ου ουϱ γου ου ου ου ους α αυ του ου ου ου πυ
ϱο ο ο ο ο ο ο ο ο ο χο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο χο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο ο ο χο ο ο ο
ο πυ ϱο ο ος φλο ο ο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο ο χο ο ο ο ο ο ο ο
ο ο ο ο ο ο ο πυ ϱος φλο ο ο ο ο
ο ο ο ο ο ο ο ο γα α α α α α
α α A ιε ε ϱα ιε ιε ιε ϱα ϱα ιε ε
ιε ϱα ϱα ιε ϱα ιε ιε ιε ϱα ϱα ιε ε ιε ϱα α ϱα
ιε ιε ϱα ϱα ιε ε Αλ λη λου ου ου ου
ι ι ι ι ι ι ι ι α α α α α α α α
α

Ἐκ τοῦ Ταμείου Ἀνθολογίας Θεοδώρου παπα-Παράσχου, Φωκαέως, μετὰ σημάνσεως τῶν ῥυθμικῶν ποδῶν καὶ τῶν ἕλξεων, ὡς καί τινων ἄλλων σημείων, παρὰ Ἰωάννου Β. Ἀρβανίτη, μουσικοδιδασκάλου.

ΑΘΗΝΑΙ 2003

Ἦχος Δι



Ἦχος Δι



῾Ηχος πλ. Δι


Ε
ι η το ο νο μα Κυ ρι ϗ ευ λο γη με
νον α πο τϗ νυν και ε ως τϗ αι ω ω νος (δὶς)
Το ο νο μα Κυ ρι ϗ ει η ευ λο γη
με ε ε ε ε νο ο ο ον α πο τϗ νυν και ε ως
τϗ αι ω ω νο ο ος